νωσιν ἔρχηται· εὐθέως δὲ φόβον θεοῦ καὶ δάκρυον ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν. Ἡ δὲ κατὰ ἀποστροφὴν τοῦ θεοῦ γινομένη ἀπελπισμοῦ ὁμοῦ καὶ ἀπιστίας καὶ ὀργῆς καὶ τύφου τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ. Δεῖ οὖν ἡμᾶς εἰδότας τὴν πεῖραν τῶν ἀμφοτέρων παραχωρήσεων κατὰ τὸν ἑκάστης τρόπον προσιέναι τῷ θεῷ. Ἐκεῖ μὲν γὰρ εὐχαριστίαν μετὰ τῆς ἀπολογίας προσάγειν αὐτῷ ὀφείλομεν ὡς τὸ τῆς γνώμης ἡμῶν ἀκόλαστον τῇ σχολῇ τῆς παρακλήσεως κολάζοντι, ἵνα ἀρετῆς ἡμᾶς καὶ κακίας ὡς πατὴρ ἀγαθὸς διδάσκοι τὴν διαφοράν· ἐνταῦθα δὲ ἐξαγόρευσιν τῶν ἁμαρτημάτων ἄπαυστον καὶ δάκρυον ἀνελλιπὲς καὶ ἀναχώρησιν πλείονα, ὅπως ἂν οὕτω δυνηθῶμεν τῇ προσθήκῃ τῶν πόνων δυσωπῆσαί ποτε τὸν θεὸν ἐπιβλέψαι ὡς τὸ πρὶν εἰς τὰς καρδίας ἡμῶν. Πλὴν δεῖ εἰδέναι ὅτι, ὅταν κατὰ οὐσιώδη συμβολὴν τῇ ψυχῇ καὶ τῷ Σατανᾷ ἡ μάχη γίνηται, ἐπὶ τῆς παιδευτικῆς δὲ λέγω παραχωρήσεως, ὑποστέλλει μέν, ὡς καὶ ἤδη εἶπον, ἡ χάρις ἑαυτήν, ἀγνώστῳ δὲ τῇ ψυχῇ συνεργεῖ βοηθείᾳ, ἵνα τὴν νίκην τῆς ψυχῆς εἶναι μόνον ἐπιδείξῃ τοῖς ἐχθροῖς αὐτῆς.

πη΄.

Ὥσπερ ὅταν τις τῇ χειμερινῇ ὥρᾳ ἐν ὑπαιθρίῳ που ἑστηκὼς τόπῳ, ἀφορῶν δὲ πρὸς ἀνατολὰς ὅλος ἐν ἀρχῇ τῆς ἡμέρας, τὰ μὲν ἐμπρόσθια αὐτοῦ μέρη πάντα ὑπὸ τοῦ ἡλίου ὑποθερμαίνοιτο, τὰ δὲ ὀπίσθια αὐτοῦ πάντα ἄμοιρα ᾖ τῆς θέρμης